21-01-2026 ΟΡΘΡΟΣ
ΑΓΙΑΣ ΑΓΝΗΣ

Ἐποιήθη ἐν Ἁγίῳ Ὄρει ὑπὸ Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου, Ὑμνογράφου τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας.

Μετὰ τὸν Ἑξάψαλμον,...

Συναπτὴ μεγάλη καὶ ἡ Ἐκφώνησις

Ὅτι πρέπει σοι πᾶσα δόξα...

Ἦχος α΄.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ, α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τόν αἰῶνα τό ἔλεος αὐτοῦ.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ,β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ, γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καί ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Ἀπολυτίκιον

Ἦχος πλ.α΄. Τὸν συνάναρχον Λόγον.

Φερωνύμως ἁγνείας ὤφθης κειμήλιον,καὶ ἀνδρικῶς ἠγωνίσω ὑπὲρ τῆς δόξης Χριστοῦ,καλλιπάρθενε σεμνὴ Ἁγνὴ πανεύφημε· ὡς γὰρ θυσία καθαρά,προσενήνεξαι αὐτῷ, τελέσασα τὸν ἀγῶνα, διὰ πυρὸς Ἀθληφόρε, καὶ τοῦ ἐχθροῦ τὴν πλάνην ἔφλεξας.

Ἕτερον.

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Δόξα.

Ἁγνείας ταῖς χάρισι, κεκοσμημένη σεμνή, Μαρτύρων ἐν στίγμασι ἐκαλλωπίσθης λαμπρῶς, Ἁγνὴ καλλιπάρθενε· σὺ γὰρ τὸν σὸν νυμφίον, μεγαλύνασα ἄθλοις, ὤφθης τοῦ οὐρανίου, κληρονόμος νυμφῶνος, πρεσβεύουσα ἀπαύστως, ὑπὲρ τῶν τιμώντων σε.

Καί νῦν. Θεοτοκίον. Ἦχος δ΄

Τὸ ἀπ΄ αἰῶνος ἀπόκρυφον, καὶ Ἀγγέλοις ἄγνωστον μυστήριον, διάσού Θεοτόκε τοὶς ἐπὶ γῆς πεφανέρωται, Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ Σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος, δι΄ οὗ ἀναστήσας τὸν πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

Συναπτὴ μικρά καὶ ἡ Ἐκφώνησις

Ὅτι σὸν τὸ κράτος...

Μετὰ τὴν α΄. Στιχολογίαν, Κάθισμα.

Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Ὡς Μάρτυς εὐκλεής, καὶ παρθένος φρονίμη, προσήχθης τῷ Χριστῷ, δι᾽ ἀγώνων ἁγίων, δι᾽ ὧν καὶ καταβέβληκας,τοῦ ἐχθροῦ τὴν παράταξιν, Ἁγνὴ πάνσεμνε, καὶ ἐδοξάσθης ἀξίως· ὅθεν σήμερον, τὴν φωτοφόρον σου μνήμην, φαιδρῶς ἑορτάζομεν.

Δόξα Πατρὶ... Καὶ νῦν...

Θεοτοκίον.

Ὡς τέξασα Χριστόν,τὸ οὐράνιον μύρον, τὴν φύσιν τῶν βροτῶν, εὐωδίασας Κόρη· διὸ σεμναὶ νεάνιδες, τῇ ὀσμῇ τούτου ἔδραμον, Ἀειπάρθενε,μεθ΄ ὧν Ἁγνὴ ἡ παρθένος, μεγαλύνει σε, ὡς τοῦ

Σωτῆρος Μητέρα, καὶ κόσμου βοήθειαν.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.
Ἦχος α΄. Χορὸς Ἀγγελικός.

Τὸ πῦρ τὸ νοητόν, τῆς ἀγάπης τῆς θείας, κατέχουσα Ἁγνή, τοῦ πυρὸς τοῦ ἐνύλου,τὴν καῦσιν ὑπέμεινας, ὥσπερ δρόσον οὐράνιον, καὶ ἀνέδραμες, ἀγαλλομένῃ καρδίᾳ, πρὸς ἀκήρατον,καὶ φωτοφόρον νυμφῶνα, Χριστοῦ τοῦ νυμφίου σου.

Δόξα Πατρὶ... Καὶ νῦν...

Θεοτοκίον.

Τὸ φῶς τὸ ἐκ φωτός, τὸν Ὑπέρθεον Λόγον, ἐκύησας Ἁγνή, ἐν μορφῇ τῇ βροτείᾳ, θεοῦντα τὸν ἄνθρωπον, δι΄ ἀμέτρητον ἔλεος, Ἀπειρόγαμε, εὐλογημένη Μαρία, ὃν ἱκέτευε, ὑπὲρ ἡμῶν τῶν ὑμνούντων, τὴν ἄφραστον δόξαν σου.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ἀνδρείως ἠγώνισαι, ὑπερ τῆς δόξης Χριστοῦ,καὶ χαίρουσα ἤνεγκας, τὴν ἐν πυρὶ τελευτήν, Ἁγνὴ Μάρτυς ἔνδοξε· ὅθεν πρὸς οὐρανίους,μετετέθης θαλάμους, βλέπουσα τοῦ Σωτῆρος,τὸ ἀμήχανον κάλλος, ᾧ πρέσβευε Ἀθληφορε, ὑπὲρ τῶν τιμώντων σε.

Δόξα Πατρὶ... Καὶ νῦν...

Θεοτοκίον.

Ἀφράστως ἐκύησας,τὸν Βασιλέα Χριστόν,καὶ ἄφθορος ἔμεινας, ὡς ἧς πρὸ τόκου Ἁγνή, Παρθένε Πανάμωμε· ὅθεν φθοροποιῶν με,ἐννοιῶν ἀκαθάρτων, κάθαρον Θεοτόκε,τῇ θερμῇ σου πρεσβείᾳ,καὶ ῥῦσαί με Πανύμνητε, χειρῶν τοῦ ἀλάστορος.

Τὸ α΄Ἀντίφωνον τοῦ δ΄ ἤχου.
Ἀντίφωνον Α΄.

Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη· ἀλλ᾽ αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου. (δὶς)

Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμένοι. (δὶς)

Δόξα.

Ἁγίῳ Πνεύματι πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται, λαμπρύνεται, τῇ τριαδικῇ μονάδι ἱεροκρυφίως.

Καὶ νῦν.

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα, ἅπασαν τὴν κτίσιν πρὸς ζωογονίαν.

Προκείμενον. Ἦχος δ΄.

Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι καὶ εἰσήκουσε τῆς δεήσεώς μου. (δὶς)

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατηύθυνε τὰ διαβήματά μου.

Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι καὶ εἰσήκουσε τῆς δεήσεώς μου.

Ἡ Τάξις τοῦ Εὐαγγελίου τοῦ Ὄρθρου
Ἦχος β΄.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.
Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.
Αἰνεσάτω πνοὴ πᾶσα τὸν Κύριον.

Εὐαγγέλιον τῶν δέκα Παρθένων.
Ζήτει τοῦτο τῷ
ιζ΄ Σαββάτῳ τοῦ Ματθαίου.

Δόξα σοι, Κύριε, δόξα σοι.

Καὶ εὐθὺς ὁ Ν΄ Ψαλμὸς χῦμα.

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος των οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διὰ παντὸς.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμα σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾿ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.

Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεὸς, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν ἔδωκα ἂν ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον΄ καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Δόξα Πατρὶ...

Ἦχος β΄

Ταῖς τῆς Ἀθληφόρου πρεσβείαις, ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν...

Ταῖς τῆς Θεοτόκου πρεσβείαις, ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ τὸ παρὸν Ἰδιόμελον.

Ἦχος πλ. β΄.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἰδιόμελον.

Ἦχος πλ.β΄.

Παρθενικῇ ὡραιότητι ἐμπρέπουσα, μαρτυρικὸν ὑπῆλθες ἀγῶνα, ἐν ἀνδρείᾳ ψυχῆς, Παρθενομάρτυς Ἁγνὴ θεόνυμφε· τῷ τοῦ Χριστοῦ γὰρ πόθῳ, πάντα ὑπερεῖδες, καὶ ποινῶν καὶ πυρὸς ἀνωτέρα ὤφθης, καὶ τοῦ Βελίαρ τὸ θράσος καθεῖλες· οὗ τῆς κακίας καὶ ἡμᾶς ἀπάλλαξον, ταῖς πρὸς Χριστὸν πρεσβείαις σου δεόμεθα.

*Σῶσον ὁ Θεὸς τὸν λαόν σου...*

Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.(δ')

*Ἐλέει καὶ οἰκτιρμοῖς...*

*Εἶτα οἱ Κανόνες ὡς συνήθως.*

*Κανὼν τῆς Θεοτόκου.*

*Ὠδὴ α'.*

*Ἦχος πλ. δ' Ὁ Εἱρμός.*

Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν, καὶ τὴν αἰγυπτίαν μοχθηρίαν διαφυγών, ὁ Ἰσραηλίτης ἀνεβόα, Τῷ Λυτρωτῇ καὶ Θεῷ ἡμῶν ᾄσωμεν.

Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν, καὶ τὴν αἰγυπτίαν μοχθηρίαν διαφυγών, ὁ Ἰσραηλίτης ἀνεβόα, Τῷ Λυτρωτῇ καὶ Θεῷ ἡμῶν ᾄσωμεν.

*Στίχ.* Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Πολλοῖς συνεχόμενος πειρασμοῖς, πρὸς σὲ καταφεύγω, σωτηρίαν ἐπιζητῶν, Ὢ Μῆτερ τοῦ Λόγου καὶ Παρθένε, τῶν δυσχερῶν καὶ δεινῶν με διάσωσον.

*Στίχ.* Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Παθῶν με ταράττουσι προσβολαί, πολλῆς ἀθυμίας, ἐμπιπλῶσαί μου τὴν ψυχήν, εἰρήνευσον, Κόρη, τῇ γαλήνῃ, τῇ τοῦ Υἱοῦ καὶ Θεοῦ σου, Πανάμωμε.

*Στίχ.* Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Σωτῆρα τεκοῦσάν σε καὶ Θεόν, δυσωπῶ, Παρθένε, λυτρωθῆναί με τῶν δεινῶν, σοὶ γὰρ νῦν προσφεύγων ἀνατείνω, καὶ τὴν ψυχὴν καὶ τὴν διάνοιαν.

*Στίχ.* Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Νοσοῦντα τὸ σῶμα καὶ τὴν ψυχήν, ἐπισκοπῆς θείας, καὶ προνοίας τῆς παρὰ σοῦ, ἀξίωσον, μόνη Θεομῆτορ, ὡς ἀγαθὴ ἀγαθοῦ τε λοχεύτρια.

*Εἶτα τῆς Ἁγίας. Ὠδὴ α'.*

*Ἦχος δ'. Θαλάσσης τὸ Ἐρυθραῖον.*

*Στίχ.* Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀκτῖσι,τοῦ Παναγίου Πνεύματος, Ἁγνὴ θεόνυμφε, λαμπρυνομένη αἴτει φωτισμόν,τῇ ζοφώδει καρδίᾳ μου,ὅπως ὑμνήσω πάνσεμνε τοὺς σοὺς Ἀγῶνας τῆς ἀθλήσεως.

*Στίχ.* Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Δυνάμει,τῇ θεϊκῇ ἐρρώσθη σου Ἁγνὴ πανεύφημε,τὸ ἀσθενὲς τῆς φύσεως στερρῶς· ὅθεν πᾶσαν κατέβαλες, ἐν τῇ λαμπρᾷ ἀθλήσει σου τοῦ παναλάστορος τὴν δύναμιν.

Δόξα Πατρί, καί Υἱῷ καί Ἁγίῳ Πνεύματι.

Ὡς πλήρης,τῆς θεϊκῆς συνέσεως, Ἁγνὴ θεόσοφε,τῆς εὐσεβείας πᾶσιν ἐφαπλοῖς, διδαχὴν τὴν σωτήριον, καὶ τοῦ Χριστοῦ ἐκήρυξας τὴν ὑπὲρ λόγον συγκατάβασιν.

Καὶ νῦν. *Θεοτοκίον.*

Ἀγγέλων, καὶ τῶν βροτῶν βασίλισσα, πέλεις Πανάμωμε, τὸν βασιλέα τέξασα Χριστόν· διὸ νέκρωσον δέομαι , ζωοποιῷ σου χάριτι, τῆς ἁμαρτίας μου τὴν δύναμιν.

*Ὠδὴ γ΄.*

*Κανὼν τῆς Θεοτόκου.*

*Ὠδὴ γ΄. Ἦχος πλ. δ΄. Ὁ Εἱρμός.*

Οὐρανίας ἁψῖδος, ὀροφουργὲ Κύριε, καὶ τῆς Ἐκκλησίας δομῆτορ, σὺ με στερέωσον, ἐν τῇ ἀγάπῃ τῇ σῇ, τῶν ἐφετῶν ἡ ἀκρότης, τῶν πιστῶν τὸ στήριγμα, μόνε φιλάνθρωπε.

Οὐρανίας ἁψῖδος, ὀροφουργὲ Κύριε, καὶ τῆς Ἐκκλησίας δομῆτορ, σὺ με στερέωσον, ἐν τῇ ἀγάπῃ τῇ σῇ, τῶν ἐφετῶν ἡ ἀκρότης, τῶν πιστῶν τὸ στήριγμα, μόνε φιλάνθρωπε.

*Στίχ.* Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Προστασίαν καὶ σκέπην, ζωῆς ἐμῆς τίθημι, Σέ, Θεογεννῆτορ, Παρθένε, σὺ με κυβέρνησον, πρὸς τὸν λιμένα σου, τῶν ἀγαθῶν ἡ αἰτία, τῶν πιστῶν τὸ στήριγμα, μόνη πανύμνητε.

*Στίχ.* Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἱκετεύω, Παρθένε, τὸν ψυχικὸν τάραχον, καὶ τῆς ἀθυμίας τὴν ζάλην, διασκεδάσαι μου, σὺ γάρ, Θεόνυμφε, τὸν ἀρχηγὸν τῆς γαλήνης, τὸν Χριστὸν ἐκύησας, μόνη πανάχραντε.

*Στίχ.* Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Εὐεργέτην τεκοῦσα, τὸν τῶν καλῶν αἴτιον, τῆς εὐεργεσίας τὸν πλοῦτον, πᾶσιν ἀνάβλυσον, πάντα γὰρ δύνασαι, ὡς δυνατὸν ἐν Ἰσχύϊ, τὸν Χριστὸν κυήσασα, Θεομακάριστε.

*Στίχ.* Ὑπεραγία Θεοτόκε, σῶ σον ἡμᾶς.

Χαλεπαῖς ἀῤῥωστίαις, καὶ νοσεροῖς πάθεσιν, ἐξεταζομένῳ, Παρθένε, σὺ μοι βοήθησον, τῶν Ἰαμάτων γάρ, ἀνελλιπῆ σε γινώσκω, θησαυρόν, Πανάμωμε, τὸν ἀδαπάνητον.

*Ὠδὴ γ΄. Εὐφραίνεται ἐπὶ σοί.*

*Στίχ.* Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Γενναίως ὑπὲρ Χριστοῦ, ἐν ἀσθενείᾳ τῆς σαρκὸς ἤνεγκας, τήν τοῦ πυρὸς ἔκκαυσιν, ἔνδοξε Ἁγνὴ καλλιπάρθενε.

*Στίχ.* Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ναμάτων ζωοποιῶν,πεπληρωμένη τὴν ψυχὴν πάνσεμνε,ὡς δροσισμὸν ἔφερες, τοῦ πυρὸς Ἁγνὴ τὴν κατάφλεξιν.

Δόξα Πατρί, καί Υἱῷ καί Ἁγίῳ Πνεύματι.

Ἠγώνισαι καρτερῶς, θυμὸν τυράννων μηδαμῶς πτήξασα, Μάρτυς Ἁγνὴ Ἔνδοξε, καὶ βραβεῖα νίκης ἀπέλαβες.

*Θεοτοκίον.*

Σαρκός μου τὸ ἀσθενές, καὶ τῆς ψυχῆς μου τὴν ἰσχὺν κράτυνον, ὡς ἂν τοῦ ἀλάστορος, Κόρη κατισχύσω ἐν ἅπασι.

*Συναπτὴ μικρὰ καὶ ἡ Ἐκφώνησις*

*Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν,...*

Κάθισμα.

Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ἡ τοῦ Σωτῆρος καλλιπάρθενος νύμφη, ἡ ἐν ἀθλήσει ἀριστεύσασα θείᾳ, Ἁγνὴ ἡ Μάρτυς εὐφημείσθω σήμερον· αὕτη γὰρ τὸν δράκοντα, καθελοῦσα τὸν μέγαν, ὡς θυσία ἄμωμος, προσηνέχθη Κυρίῳ, καὶ ἱκετεύει πάντοτε Χριστόν ἡμῖν δοθῆναι, πταισμάτων συγχώρησιν.

Δόξα. Καί νῦν. Θεοτοκίον.

Ἡ τὸν Σωτῆρα τοῦ παντὸς τετοκυῖα, τὸν λυτρωσάμενον ἡμᾶς τῆς κατάρας, θεοκυῆτορ Κόρη Ἀειπάρθενε, ῥῦσαι τῆς μανίας με, τοῦ δεινοῦ πολεμίου, δίδου δέ μοι δύναμιν, κατ ́αὐτοῦ καθ ́ἑκάστην, καὶ τοῦ νοός μου δίωξον Ἁγνή, τὴν σκοτομήνην, καὶ σῶσόν με δέομαι.

Συναπτὴ μικρά καὶ ἡ Ἐκφώνησις

Σὺ γὰρ εἶ ὁ Βασιλεύς...

Κοντάκιον.

Ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Παρθενίας λάμπουσα μαρμαρυγαῖς ἀκηράτοις,μαρτυρίου ἤνυσας, περιφανῶς τοὺς ἀγῶνας· πίστει γάρ, καὶ θείῳ ἔρωτι φλεγομένη, ἤνεγκας πυρὸς τὴν καῦσιν ἀνδρειοφρόνως, καὶ πρὸς φῶς τῆς ἄνω δόξης, Ἁγνὴ θεόφρον χαίρουσα ἔδραμες.

Ὁ Οἶκος.

Φιλεόρτων χορεῖαι τιμήσωμεν, τῆς ἁγνείας τὸ ἄνθος τὸ εὔοσμον, τὴν Ἁγνὴν φερωνύμως καὶ ἄμεμπτον, ὡς Χριστοῦ τετρωμένην τῷ ἔρωτι· τούτῳ γὰρ ἐν πίστει θερμῇ μνηστευθεῖσα, κοσμικῆς περιφανείας πᾶσαν σχέσιν κατέλιπε, καὶ μαρτυρίου τὸ στάδιον, ἀνδρειοφρόνως ἤνυσε,γυναικείαν παριδοῦσα ἀσθένειαν· καὶ ἐν ποιναῖς δοκιμασθεῖσα, διὰ πυρὸς Χριστῷ προσενήνεκται, καὶ πρὸς τὸ φῶς τῆς ἄνω δόζης χαίρουσα ἔδραμε.

Συναξάριον.

Τῇ ΚΑ΄. τοῦ αὐτοῦ μηνός, μνήμη τῆς Ἁγίας Παρθενομάρτυρος Ἁγνῆς.

Στίχ. Ὑπὲρ νέον σοὶ μόσχον, ὡς Δαβὶδ λέγει· Ἤρεσκεν Ἁγνὴ πυρπολουμένη Λόγε.

Εἰκάδι πρώτῃ Ἁγνὴν φλεγέθουσι πυρὶ μαλερῷ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Μαξίμου τοῦ Ὁμολογητοῦ.

Στίχοι

Ἄχειρ, ἄγλωττος, χεῖρα καὶ γλῶτταν φύεις

Καὶ χερσὶ Θεοῦ, Μάξιμε, ψυχὴν δίδως.

Εἰκάδι πρώτῃ πότμος Μαξίμου ὅσσ' ἐκάλυψεν.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Νεοφύτου.

Στίχοι

Τὸν Νεόφυτον ἐκριζοῖ γῆθεν δόρυ,

Νέου φυτοῦ κάλλιστον οἷά περ θάλος.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ζωσίμου, Ἐπισκόπου Συρακούσης, Σικελῶν νήσου.

Στίχοι

Μετάστασιν Ζώσιμος εὗρεν ἐκ βίου,

Ὧ καὶ πρὸ ταύτης πᾶς μετάστασις βίος.

Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τῶν Ἁγίων Μαρτύρων Εὐγενίου, Οὐαλλεριανοῦ, Κανδίδου, καὶ Ἀκύλα.

Στίχοι

Τὸν Εὐγένιον, καὶ συνάθλους τρεῖς ἅμα,

Δι' εὐγένειαν ψυχικὴν κτείνει ξίφος.

Τῇ αὐτῇ ἡμέρᾳ, ἡ Σύναξις τῆς Ἁγίας Εἰρήνης, ἐν τῇ ἁγιωτάτῃ Ἐκκλησίᾳ τῇ οὔσῃ πρὸς θάλασσαν καὶ Μνήμη τῆς Ἁγίας Μάρτυρος Ἁγνῆς.

Στίχοι

Ὑπὲρ νέον σοι μόσχον, ὡς Δαυὶδ λέγει

Ἤρεσκεν Ἁγνὴ πυρπολουμένη, Λόγε.

Τῇ αὐτῇ ἡμέρᾳ, οἱ ἅγιοι τέσσαρες Μάρτυρες, οἱ ἐν Τύρῳ, ξίφει τελειοῦνται.

Στίχοι

Στερρῶν ἀθλητῶν τεσσάρων φωνὴ μία·

Ἡμῖν τὸ θνήσκειν ἐκ ξίφους εὐθυμία.

Ταῖς τῶν ἁγίων σου πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

## ΚΑΤΑΒΑΣΙΑΙ

Ὠδὴ α'. Ἦχος γ'.

Χέρσον ἀβυσσοτόκον πέδον ἥλιος, ἐπεπόλευσέ ποτε, ὡσεὶ τεῖχος γὰρ ἐπάγη, ἑκατέρωθεν ὕδωρ, λαῷ πεζοποντοποροῦντι, καὶ θεαρέ-στως μέλποντι. Ἄσωμεν τῷ Κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται.

Ὠδὴ γ'.

Τὸ στερέωμα, τῶν ἐπὶ σοὶ πεποιθότων, στερέωσον Κύριε τὴν Ἐκκλησίαν, ἣν ἐκτήσω,... ὁ α' χορός...

Τῷ τιμίῳ σου αἵματι.

Ὠδὴ δ'.

Ἐκάλυψεν οὐρανούς, ἡ ἀρετή σου Χριστέ, τῆς κιβωτοῦ γὰρ προελθών,τοῦ ἁγιάσματός σου, τῆς ἀφθόρου Μητρός, ἐν τῷ ναῷ τῆς δόξης σου, ὤφθης ὡς βρέφος, ἀγκαλοφορούμενος, καὶ ἐπληρώθη τὰ πάντα τῆς σῆς αἰνέσεως.

Ὠδὴ ε'.

Ὡς εἶδεν Ἡσαΐας συμβολικῶς, ἐν θρόνῳ ἐπηρμένῳ Θεόν, ὑπ' Ἀγγέλων δόξης δορυφορούμενον, ὢ τάλας! ἐβόα, ἐγώ, πρὸ γὰρ εἶδον σωματούμενον Θεόν, φωτὸς ἀνεσπέρου, καὶ εἰρήνης δεσπόζοντα.

Ὠδὴ ς'.

Ἐβόησέ σοι, ἰδὼν ὁ Πρέσβυς, τοῖς ὀφθαλμοῖς τὸ σωτήριον, ὃ λαοῖς ἐπέστη. Ἐκ Θεοῦ Χριστὲ σὺ Θεός μου.

Ὠδὴ ζ'.

Σὲ τὸν ἐν πυρὶ δροσίσαντα, Παῖδας θεολογήσαντας, καὶ Παρθένῳ, ἀκηράτῳ, ἐνοικήσαντα, Θεὸν Λόγον ὑμνοῦμεν, εὐσεβῶς μελῳδοῦντες. Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ὠδὴ η'.

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Ἀστέκτῳ πυρὶ ἑνωθέντες, οἱ θεοσεβείας προεστῶτες Νεανίαι, τῇ φλογὶ δὲ μὴ λωβηθέντες, θεῖον ὕμνον ἔμελπον. Εὐλογεῖτε πάντα

τὰ ἔργα Κυρίου τὸν Κύριον. καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτὸς...

ΤΙΜΙΩΤΕΡΑ (Ἦχος γ΄)

Στίχ. Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

Τὴν Τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Στίχ. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.

Τὴν Τιμιωτέραν...

Στίχ. Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ Δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ, καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.

Τὴν Τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Στίχ. Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.

Τὴν Τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Στίχ. Καθεῖλε δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσε ταπεινούς, πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλεν κενούς.

Τὴν Τιμιωτέραν...

Στίχ. Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

Τὴν Τιμιωτέραν...

Καταβασία

Ἦχος γ΄ Ὠδὴ θ΄.

Θεοτόκε ἡ ἐλπίς, πάντων τῶν Χριστιανῶν, σκέπε φρούρει φύλαττε, τοὺς ἐλπίζοντας εἰς σέ.

Ἐν νόμου, σκιᾷ καὶ γράμματι, τύπον κατίδωμεν οἱ πιστοί, πᾶν ἄρσεν τὸ τὴν μήτραν διανοῖγον, ἅγιον Θεῷ, διὸ πρωτότοκον Λόγον, Πατρὸς ἀνάρχου Υἱόν, πρωτοτοκούμενον Μητρί, ἀπειράνδρῳ, μεγαλύνομεν.

Συναπτὴ μικρά καὶ ἡ Ἐκφώνησις

Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις...

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ

Ἐξαποστειλάριον.

Ὁ οὐρανὸν τοῖς ἄστροις.

Παρθενικῶς τὸν βίον διατελοῦσα εὐσεβῶς,μαρτυρικῶς προσήχθης, διά πυρὸς Μάρτυς Ἁγνή, τῷ Παντοκράτορι Λόγῳ, ὡς νύμφη ἠγλαϊσμένη.

Θεοτοκίον.

Θεὸν ἀφράστως τεκοῦσα,ὑπερφυῶς μετὰ σαρκός, Θεοκυῆτορ Παρθένε, κόσμον ἐρρύσω τῆς φθορᾶς· διό σε ἀνευφημοῦμεν, ὡς σωτηρίας αἰτίαν.

ΑΙΝΟΙ . Ἦχος α΄.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν· αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτόν, πάντες οἱ Ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

καί ψάλλομεν τά παρόντα

Στιχηρά Προσόμοια.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Τῆς εὐσεβείας τὰ ἄνθη τὰ εὐωδέστατα, Ἁγνὴ Παρθενομάρτυς, νοητῶς γεωργοῦσα,διέπνευσας τῷ κόσμῳ μαρτυρικήν,εὐωδίαν θεόπνευστε, καὶ κατευφραίνεις καρδίας τῶν εὐσεβῶν,τῇ ὀσμῇ τῶν χαρισμάτων σου.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ, σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Καθάπερ μύρον εὐῶδες τῷ σῷ νυμφίῳ Χριστῷ, προσήγαγες τὰς πράξεις,τοῦ ἀμέμπτου σου βίου,καὶ ἤθλησας νομίμως ὑπὲρ αὐτοῦ, τὸν ἐχθρὸν θριαμβεύσασα· διὸ ἀξίως ἐδέξω Μάρτυς Ἁγνή,τὸ βραβεῖον τῆς ἀθλήσεως.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Ἀκαταπλήκτῳ καρδίᾳ Ἁγνὴ ὑπέμεινας, ὑπὲρ τοῦ σοῦ νυμφίου, τὴν κατάφλεξιν Μάρτυς, καὶ χαίρουσα ἀνέδραμες πρὸς αὐτόν, τὸν ἀγῶνα τελέσασα· ὅθεν δυσώπει ἀπαύστως ὑπὲρ ἡμῶν, τῶν τιμώντων σου τὴν ἄθλησιν.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Λαμπαδηφόρος ἀνῆλθες πρὸς τὸν νυμφῶνα Χριστοῦ, τελέσασα τὸν δρόμον, τῆς ἀθλήσεως Μάρτυς· καὶ νῦν τῶν ὑπὲρ λόγον θεωριῶν, ἀπολαύουσα πάνσεμνε, διὰ παντὸς ἐκδυσώπει ὑπὲρ ἡμῶν, τῶν τιμώντων σου τὴν ἄθλησιν.

Δόξα. Ἦχος πλ.α΄

Ἀθλητικῇ ἐνστάσει, Χριστοῦ δοξάσασα τὸ ὄνομα, ἀπτοήτῳ γνώμῃ ὑπῆλθες, πῦρ τὸ παμφάγον, Παρθενομάρτυς ἀήττητε· τῆς ἀΰλου γὰρ φλογός, τὴν ἐνέργειαν ἔχουσα, τὴν ἐν σοὶ κεκρυμμένην λαμπρότητα, πᾶσιν ἔδειξας· καὶ ὡς ὁλοκαύτωμα ἔμψυχον,προσενεχθεῖσα Χριστῷ,μυρίων ἀγαθῶν ἠξίωσαι,Ἁγνὴ καλλιπάρθενε· διὸ δυσωποῦμέν σε· Μὴ διαλίπῃς πρεσβεύουσα, εὑρεῖν ἡμᾶς ἔλεος, ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

Καί νῦν. Θεοτοκίον.

Ἦχος πλ. α΄

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καί δοξάζομέν σε οἱ πιστοί κατά χρέος, τήν πόλιν τήν ἄσειστον, τό τεῖχος τό ἄῤῥηκτον, τήν ἀῤῥαγῆ προστασίαν, καί καταφυγήν τῶν ψυχῶν ἡμῶν.

Δοξολογία Μεγάλη.

Ἦχος πλ. α΄

Δόξα σοι τῷ δείξαντι τὸ φῶς. Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν, ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα΄ Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός,

Ἅγιος Ἰσχυρός,

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἀπολυτίκια.

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ἁγνείας ταῖς χάρισι, κεκοσμημένη σεμνή, Μαρτύρων ἐν στίγμασι ἐκαλλωπίσθης λαμπρῶς, Ἁγνὴ καλλιπάρθενε· σὺ γὰρ τὸν σὸν νυμφίον, μεγαλύνασα ἄθλοις, ὤφθης τοῦ οὐρανίου, κληρονόμος νυμφῶνος, πρεσβεύουσα ἀπαύστως, ὑπὲρ τῶν τιμώντων σε..

ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ
ΑΝΤΙΦΩΝΑ ( τῆς ἑορτῆς)

Ἀντίφωνον Α΄. Ἦχος β΄.

Στίχ. Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

Στίχ. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Στίχ. Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Στίχ. Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Δόξα Πατρί...Καὶ νῦν.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Ἀντίφωνον Β΄. Ἦχος β΄.

Στίχ. Αἴνει, ἡ ψυχή μου τὸν Κύριον, αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

Στίχ. Μακάριος, οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

Στίχ. Τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς·

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

Στίχ.. Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιών, εἰς γενεὰν καὶ γενεάν.

Σῶσον, ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

Δόξα Πατρὶ... Καὶ νῦν...

Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων, καὶ καταδεξάμενος, διὰ τὴν ἡμετέραν σωτηρίαν, σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε, Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, Εἷς ὢν τῆς ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.

Ἀντίφωνον Γ΄. Ἦχος α΄.

Στίχ. Θαυμαστός ὁ Θεός ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Ἀπολυτίκια.

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ἁγνείας ταῖς χάρισι, κεκοσμημένη σεμνή, Μαρτύρων ἐν στίγμασι ἐκαλλωπίσθης λαμπρῶς, Ἁγνὴ καλλιπάρθενε· σὺ γὰρ τὸν σὸν νυμφίον, μεγαλύνασα ἄθλοις, ὤφθης τοῦ οὐρανίου, κληρονόμος νυμφῶνος, πρεσβεύουσα ἀπαύστως, ὑπὲρ τῶν τιμώντων σε.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Μικρὰ Εἴσοδος.

Εἰσοδικὸν

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστός,, ( ὁ β′ χορὸς) ψάλλοντάς σοι, Ἀλληλούϊα.

Ἀπολυτίκιον

Ἦχος πλ.α′. Τὸν συνάναρχον Λόγον.

Φερωνύμως ἁγνείας ὤφθης κειμήλιον,καὶ ἀνδρικῶς ἠγωνίσω ὑπὲρ τῆς δόξης Χριστοῦ,καλλιπάρθενε σεμνὴ Ἁγνὴ πανεύφημε· ὡς γὰρ θυσία καθαρά,προσενήνεξαι αὐτῷ, τελέσασα τὸν ἀγῶνα, διὰ πυρὸς Ἀθληφόρε, καὶ τοῦ ἐχθροῦ τὴν πλάνην ἔφλεξας.

Ἀπολυτίκια.

Ἦχος δ′. Ταχὺ προκατάλαβε.

Ἁγνείας ταῖς χάρισι, κεκοσμημένη σεμνή, Μαρτύρων ἐν στίγμασι ἐκαλλωπίσθης λαμπρῶς, Ἁγνὴ καλλιπάρθενε· σὺ γὰρ τὸν σὸν νυμφίον, μεγαλύνασα ἄθλοις, ὤφθης τοῦ οὐρανίου, κληρονόμος νυμφῶνος, πρεσβεύουσα ἀπαύστως, ὑπὲρ τῶν τιμώντων σε.

Ἀπολυτίκιον τοῦ Ναοῦ

Κοντάκιον Ἦχος α′

Ὁ μήτραν παρθενικὴν ἁγιάσας τῷ τόκῳ σου, καὶ χεῖρας τοῦ Συμεὼν εὐλογήσας ὡς ἔπρεπε, προφθάσας καὶ νῦν ἔσωσας ἡμᾶς Χριστὲ ὁ Θεός. Ἀλλ′ εἰρήνευσον ἐν πολέμοις τὸ πολίτευμα, καὶ κραταίωσον Βασιλεῖς οὓς ἠγάπησας, ὁ μόνος φιλάνθρωπος.

Τρισάγιον Ἀποστόλου

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς. γ′

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

Δύναμις.

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

ΑΠΟΣΤΟΛΙΚΟΝ ΑΝΑΓΝΩΣΜΑ ΤΗΣ ΑΓΙΑΣ

Προκείμενον. Ἦχος δ′.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ. (Δίς).

Στίχ. Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν, Κύριον ἐκ πηγῶν Ἰσραήλ.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα. 3:23-29; 4:1-5

Ἀδελφοί, πρὸ τοῦ ἐλθεῖν τὴν πίστιν ὑπὸ νόμον ἐφρουρούμεθα συγκλεκλεισμένοι εἰς τὴν μέλλουσαν πίστιν ἀποκαλυφθῆναι. Ὥστε ὁ νόμος παιδαγωγὸς ἡμῶν γέγονεν εἰς Χριστόν, ἵνα ἐκ πίστεως δικαιωθῶμεν· ἐλθούσης δὲ τῆς πίστεως οὐκ ἔτι ὑπὸ παιδαγωγόν ἐσμεν. Πάντες γὰρ υἱοὶ Θεοῦ ἐστε διὰ τῆς πίστεως ἐν Χριστῷ Ἰησοῦ. Ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε· οὐκ ἔνι Ἰουδαῖος οὐδὲ Ἕλλην, οὐκ ἔνι δοῦλος οὐδὲ ἐλεύθερος, οὐκ ἔνι ἄρσεν καὶ θῆλυ· πάντες γὰρ ὑμεῖς εἷς ἐστε ἐν Χριστῷ Ἰησοῦ. Εἰ δὲ ὑμεῖς Χριστοῦ, ἄρα τοῦ Ἀβραὰμ σπέρμα ἐστέ, καὶ κατ’ ἐπαγγελίαν κληρονόμοι. Λέγω δέ, ἐφ’ ὅσον χρόνον ὁ κληρονόμος νήπιός ἐστιν,

οὐδὲν διαφέρει δούλου, κύριος πάντων ὤν, ἀλλὰ ὑπὸ ἐπιτρόπους ἐστὶ καὶ οἰκονόμους ἄχρι τῆς προθεσμίας τοῦ πατρός. Οὕτω καὶ ἡμεῖς, ὅτε ἦμεν νήπιοι, ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου ἦμεν δεδουλωμένοι· ὅτε δὲ ἦλθεν τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ, γενόμενον ἐκ γυναικός, γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν.

Ἀλληλούϊα. (γ) Ἦχος δ΄.

Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι καὶ εἰσήκουσε τῆς δεήσεώς μου.

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατηύθυνε τὰ διαβήματά μου.

Καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ Ἱεροῦ Χρυσοστόμου

Εἰς τό Ἐξαιρέτως

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σὲ τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Κοινωνικόν

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

ἦχος β΄

Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν, ἐλάβομεν Πνεῦμα ἐπουράνιον, εὕρομεν πίστιν ἀληθῆ, ἀδιαίρετον Τριάδα προσκυνοῦντες, αὕτη γὰρ ἡμᾶς ἔσωσεν.

Ἀμὴν ἀμὴν ἀμὴν, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν τὴν αἰώνιον.

Πληρωθήτω τὸ στόμα ἡμῶν αἰνέσεώς Κύριε, ὅπως ὑμνήσωμεν τὴν δόξαν σου, ὅτι ἠξίωσας ἡμᾶς τῶν ἁγίων σου μετασχεῖν μυστηρίων· τήρησον ἡμᾶς ἐν τῷ σῷ ἁγιασμῷ, ὅλην τὴν ἡμέραν μελετᾶν τὴν δικαιοσύνην σου. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

ἦχος β΄

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπό τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. (τρὶς)

Ἀπόλυσις

Ἡ Μεταφορὰ Κειμένων
Καλλιτεχνικὴ ἐπιμέλεια
ἔγινε ἀπό τον Βασίλειο Κιαμηλίδη
Ἱεροψάλτη
στὸν Ι.Ν. Ἁγίου Γεωργίου
Κουλούρας Βέροιας.